ὁ Β [illegible] πολλαπλασιάσας [illegible] τὸν Γ [illegible]

πεποίηκεν· ὁ Γ ἄρα στερεός ἐστι. πλευραὶ δὲ αὐτοῦ εἰσιν
οἱ Δ Ε Β. ὅπερ ἔδει δεῖξαι:

η Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον
ὦσιν, ὁ μὲν τρίτος ἀπὸ τῆς μονάδος τετράγωνός ἐστι
καὶ οἱ ἕνα διαλείποντες πάντες. ὁ δὲ τέταρτος κύβος καὶ
οἱ δύο διαλείποντες πάντες. ὁ δὲ ἕβδομος κύβος ἅμα καὶ τετρά-
γωνος καὶ οἱ πέντε διαλείποντες πάντες. ἔστωσαν ἀ-
πὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ
Α Β Γ Δ Ε Ζ· λέγω ὅτι ὁ μὲν τρίτος ἀπὸ τῆς μονάδος
ὁ Β τετράγωνός ἐστι καὶ οἱ ἕνα διαλείποντες πάντες. ὁ δὲ τέταρ-
τος ὁ Γ κύβος καὶ οἱ δύο διαλείποντες πάντες. ὁ δὲ ἕβ-
δομος ὁ Ζ κύβος ἅμα καὶ τετράγωνος καὶ οἱ πέντε δια-
λείποντες πάντες. ἐπεὶ γάρ ἐστιν ὡς ἡ μονὰς πρὸς
τὸν Α οὕτως ὁ Α πρὸς τὸν Β, ἰσάκις ἄρα ἡ μονὰς
τὸν Α ἀριθμὸν μετρεῖ καὶ ὁ Α τὸν Β. ἡ δὲ μονὰς τὸν Α
μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας· καὶ ὁ Α ἄρα τὸν Β
μετρεῖ κατὰ τὰς ἐν τῷ Α μονάδας. ὁ Α ἄρα ἑαυτὸν
πολλαπλασιάσας τὸν Β πεποίηκε· τετράγωνος ἄρα
ἐστὶν ὁ Β. καὶ ἐπεὶ οἱ Β Γ Δ ἑξῆς ἀνάλογόν εἰσιν, ὁ δὲ Β
τετράγωνός ἐστι, καὶ ὁ Δ ἄρα τετράγωνός ἐστι. διὰ τὰ αὐ-
τὰ δὴ καὶ ὁ Ζ τετράγωνός ἐστιν. ὁμοίως δὴ δείξομεν ὅτι
καὶ οἱ ἕνα διαλείποντες τετράγωνοί εἰσιν. λέγω δὴ ὅτι καὶ
ὁ τέταρτος ἀπὸ τῆς μονάδος ὁ Γ κύβος ἐστὶ καὶ οἱ δύο
διαλείποντες πάντες. ἐπεὶ γάρ ἐστιν ὡς ἡ μονὰς πρὸς
τὸν Α οὕτως ὁ Β πρὸς τὸν Γ. ἰσάκις ἄρα ἡ μονὰς τὸν
Α ἀριθμὸν μετρεῖ καὶ ὁ Β τὸν Γ. ἡ δὲ μονὰς τὸν Α ἀ-
ριθμὸν μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας· καὶ ὁ Β ἄρα τὸν
Γ μετρεῖ κατὰ τὰς ἐν τῷ Α μονάδας· ὁ Α ἄρα τὸν Β πολ-
λαπλασιάσας τὸν Γ πεποίηκεν. ἐπεὶ οὖν ὁ Α ἑαυ-
τὸν μὲν πολλαπλασιάσας τὸν Β πεποίηκε, τὸν δὲ
Β πολλαπλασιάσας τὸν Γ πεποίηκε, κύβος ἄρα
ἐστὶν ὁ Γ. καὶ ἐπεὶ οἱ Γ Δ Ε Ζ
ἑξῆς ἀνάλογόν εἰσιν·
ὁ δὲ Γ κύβος ἐστί, καὶ ὁ Ζ
ἄρα κύβος ἐστίν. ἐδεί-
χθη δὲ καὶ τετράγωνος·
ὁ ἄρα ἕβδομος ἀπὸ
τῆς μονάδος ὁ Ζ κύ-
βος ἐστὶ καὶ τετράγωνος.



ὁμοίως δὴ δείξομεν ὅτι καὶ οἱ πέντε διαλείποντες πάντες
κύβοι τέ εἰσι καὶ τετράγωνοι. ὅπερ ἔδει δεῖξαι:

θ Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον
ὦσιν, ὁ δὲ μετὰ τὴν μονάδα τετράγωνος ᾖ, καὶ οἱ λοι-
ποὶ πάντες τετράγωνοι ἔσονται. καὶ ἐὰν ὁ μετὰ τὴν μονά-
δα κύβος ᾖ, καὶ οἱ λοιποὶ πάντες κύβοι ἔσονται. ἔστω-
σαν ἀπὸ μονάδος ἑξῆς ἀνάλογον ὁσοιδηποτοῦν ἀ-
ριθμοὶ οἱ Α Β Γ Δ Ε Ζ. ὁ δὲ μετὰ τὴν μονάδα ὁ Α τετρά-
γωνος ἔστω· λέγω ὅτι καὶ οἱ λοιποὶ πάντες τετράγωνοι
ἔσονται. ὅτι μὲν οὖν ὁ τρίτος ἀπὸ τῆς μονάδος ὁ Β
τετράγωνός ἐστι καὶ οἱ ἕνα διαλείποντες πάντες, δέδει-
κται. λέγω δὴ ὅτι καὶ οἱ λοιποὶ πάντες τετράγωνοί εἰσιν.
ἐπεὶ γὰρ οἱ Α Β Γ ἑξῆς ἀνάλογόν εἰσι, καί ἐστιν ὁ Α τετρά-

[illegible]

[illegible]

BIBLIOTHECA BODLEIANA